Ex aliquo enim vtique generaretur. Quæcunque itaque ſunt verè ipſum eſſe quid, & actu, circa hæc non eſt decipi, ſed aut intelligere, aut non. Verum quod quid eſt de eis quæritur, ſi talia ſint, an non: eſſe vero, vt verum eſt, & non eſſe, vt falſum. vnum quidem ſi componitur, verum: ſi verò non componitur, falſum. Vnum verò ſi eſt quidem ens, ſic eſt: ſin verò non ita, non eſt. Verum autem intelligere hæc: falſum vero, non eſt deceptio, ſed ignorantia: non qualis cæcitas eſt. etenim cæcitas quidem, ſicuti ſi omnino non haberet aliquis intelligendi potentiam. Manifeſtum autem eſt, quòd neque de immobilibus deceptio eſt ſecundum quando, ſi quis immobilia putet: vtputa ſi triãgulum non putet mutari, non opinabitur modò duos rectos habere, modo non: mutaretur etenim. Verùm aliquid quidem, aliquid verò non: vtputa, parem numerum, primum nullum eſſe: aut quoſdam quidem, quoſdam verò non. Quo ad numerum autem circa vnum nec hoc: non amplius enim quædam quidem, quædam verò non putabit: ſed verum dicet, aut falſum, tanquam ita ſemper ſe habeat.

ARISTOTELIS METAPHYSICORVM LIBER X.

CAPVT I.

QVOD vnum multis dicatur modis in diuiſione de quoties dictum eſt prius. Cùm autem multipliciter dicatur, primorum, & eorum, quæ ſecundum ſe, non ſecundum accidens dicuntur vnum, quatuor in ſumma modi ſunt. Et ipſum nanque continuum aut ſimpliciter, aut maximè, quod natura, & non tactu, neque ligatione: & horum illud magis vnum, & prius, cuius motus indiuiſibilior, & magis ſimplex eſt. Item tale etiam magis eſt, quod totum eſt, aliquámque formam, & ſpeciem habens, & maximè quodcunque natura tale ſit, & non vi, quemadmodum quæcunque aut glutine, aut clauo, aut coniunctione: at habeat in ſe quod cauſa ei ſit, vt continuum ſit: tale verò eſt, quia vnus motus loco, & tempore indiuiſibilis ſit. Quare manifeſtum eſt, quòd ſi quid natura motionis primæ principium habet primum (dico autem, lationis circulationem) id prima magnitudo vna. Quædam autem quorum vna ratio eſt. Talia vero quorum intellectio vna: talia autem, quorũ indiuiſibilis.

A ἔκ τινος γὰρ ἂν ἐγίνετο. ὅσα δή ἐστιν ὅπερ εἶναί τι καὶ ἐνεργείᾳ, περὶ ταῦτα οὐκ ἔστιν ἀπατηθῆναι, ἀλλ' ἢ νοεῖν, ἢ μή. ἀλλὰ τὸ τί ἐστι ζητεῖται περὶ αὐτῶν, εἰ τοιαῦτά ἐστιν, ἢ μή. τὸ δὲ εἶναι ὡς τὸ ἀληθές, καὶ τὸ μὴ εἶναι, ὡς τὸ ψεῦδος, ἓν μέν ἐστιν εἰ σύγκειται, ἀληθές· τὸ δ' εἰ μὴ σύγκειται, ψεῦδος. τὸ δὲ ἕν, εἴπερ ὄν, οὕτως ἐστίν· εἰ δὲ μὴ οὕτως, οὐκ ἔστι. τὸ δὲ ἀληθές, τὸ νοεῖν αὐτά·
B τὸ δὲ ψεῦδος, οὐκ ἔστιν, οὐδὲ ἀπάτη, ἀλλ' ἄγνοια, οὐχ οἵα ἡ τυφλότης ἐστίν. ἡ μὲν γὰρ τυφλότης ἐστίν, ὡς ἂν εἰ τὸ νοητικὸν ὅλως μὴ ἔχοι τις. φανερὸν δὲ καὶ ὅτι περὶ τῶν ἀκινήτων οὐκ ἔστιν ἀπάτη κατὰ τὸ ποτέ, εἴ τις ὑπολαμβάνοι ἀκίνητα· οἷον, τὸ τρίγωνον, εἰ μὴ μεταβάλλειν, οὐκ οἰήσεται ποτὲ μὲν δύο ὀρθὰς ἔχειν, ποτὲ δὲ οὔ. μεταβάλλοι γὰρ ἄν. ἀλλὰ τὶ μέν, τὶ δ' οὔ. οἷον ἄρτιον ἀριθμὸν πρῶτον μὲν εἶναι μηδένα, ἢ τινὰς
C μέν, τινὰς δ' οὔ. ἀριθμῷ δὲ περὶ ἕνα οὐδὲ τοῦτο. οὐ γὰρ ἔτι τινὰ μέν, τινὰ δὲ οὐκ οἰήσεται, ἀλλ' ἀληθεύσει ἢ ψεύσεται, ὡς ἀεὶ οὕτως ἔχοντος.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ τῶν μετὰ τὰ φυσικὰ τὸ Ι.

Κεφάλαιον α.

D Τὸ ἓν ὅτι μὲν λέγεται πολλαχῶς, ἐν τοῖς περὶ τοῦ ποσαχῶς διῃρημένοις εἴρηται πρότερον. πλεοναχῶς δὲ λεγομένου, οἱ συγκεφαλαιούμενοι τρόποι εἰσὶ τέσσαρες τῶν πρώτως καὶ καθ' αὑτὰ λεγομένων ἕν, ἀλλὰ μὴ κατὰ συμβεβηκός. τό, τε γὰρ συνεχὲς, ἢ ἁπλῶς, ἢ μάλιστά γε τὸ φύσει καὶ
E μὴ ἁφῇ, μηδὲ δεσμῷ· καὶ τούτων μᾶλλον ἓν καὶ πρότερον, ὧν ἀδιαιρετωτέρα ἡ κίνησις καὶ μᾶλλον ἁπλῆ. ἔτι τοιοῦτον, καὶ μᾶλλον τὸ ὅλον καὶ ἔχον τινὰ μορφὴν καὶ εἶδος· μάλιστα δ' εἴ τι φύσει τοιοῦτον καὶ μὴ βίᾳ, ὥσπερ ὅσα κόλλῃ, ἢ γόμφῳ, ἢ συνδέσμῳ· ἀλλὰ ἔχει ἐν αὑτῷ τὸ αἴτιον τοῦ συνεχὲς εἶναι. τοιοῦτον δὲ τῷ μίαν τὴν κίνησιν εἶναι, καὶ ἀδιαίρετον τόπῳ καὶ χρόνῳ. ὥστε φανερὸν εἴ τι φύσει κι-
F νήσεως ἀρχὴν ἔχει τῆς πρώτης, τὴν πρώτην· οἷον λέγω φορᾶς κυκλοφορίαν, ὅτι τοῦτο πρῶτον μέγεθος ἕν. τὰ μὲν δὴ οὕτως ἕν, ἢ συνεχὲς, ἢ ὅλον· τὰ δὲ ὧν ἂν ὁ λόγος εἷς ᾖ. τοιαῦτα δὲ ὧν ἡ νόησις μία· τοιαῦτα δὲ ὧν ἀδιαίρετος.

ἀδιαί-